# ΙΣΟΚΡΑ-
# ΤΟΥΣ ΛΟΓΟΙ Α-
## παντες, καὶ Ἐπιστολαί.

Ἁρποκρατίωνος καὶ Σουίδα περὶ τινῶν
παρ' Ἰσοκράτει λέξεων.

## ISOCRATIS ORA-
TIONES PARTIM DOCTORVM virorum opera, partim meliorum exemplarium collatione, nunc demum multò quàm antea emendatiores excusæ. Adiecimus quoque [redacted], non omnium modò Orationum argumenta, sed & marginum annotationes.




BASILEAE,
*Per Thomam Guarinum,* 1571.

Front., cop. CCLA, 20160404

## ὙΠΟΘΕΣΙΣ ΤΟΥ͂ ΠΡῸΣ φίλιππον, ς′ λόγου.

Ἰστέον, ὅτι τὸν λόγον τοῦτον ἔγραψε τῷ Φιλίππῳ ὁ Ἰσοκράτης, μετὰ τὴν εἰρήνην τὴν γενομένην * ἐπὶ τῶν περὶ τὸν Αἰσχίνην καὶ Δημοσθένην. Διὸ καὶ ἔσχε καιρὸν γράψαι αὐτῷ τῷ Φιλίππῳ, ὡς φίλῳ γενομένῳ τῆς Ἀθηναίων πόλεως. ἐν σχήματι δὲ τοῦ ἐγκωμιάσαι αὐτὸν, παραινεῖ αὐτῷ διαλλάξαντα τὰς ἑλληνικὰς πόλεις τὰς μεγάλας, πρὸς ἑαυτὰς στασιαζούσας, στρατεῦσαι κατὰ Περσῶν. πρέπει γάρ σοι (φησὶ) τοῦτο ποιῆσαι, Ἡρακλείδῃ ὄντι, καὶ τοιούτῳ δυνατῷ. καὶ ὁ μὲν Φίλιππος λαβὼν τὸν λόγον, καὶ ἀναγνοὺς, οὐκ ἐπείσθη τοῖς λεγομένοις, ἀλλ᾽ ἀνεβάλετο τέως. ὕστερον δὲ ὁ παῖς ὁ τούτου Ἀλέξανδρος ἀναγνοὺς τὸν λόγον, καὶ ὀρεθισθεὶς, ἐστράτευσε κατὰ Δαρείου τοῦ ὑστέρου, καὶ λεγομένου Ὤχου· τὸ μὲν γὰρ κύριον ὄνομα, Ὦχος ἐλέγετο, κολακεύοντες δὲ αὐτὸν οἱ Πέρσαι, * ἐπίκλην αὐτὸν ὠνόμαζον Δαρεῖον, ὡς πρὸς τοὺς πρώτους προγόνους. ἡ δὲ στάσις τοῦ λόγου πραγματική· συμβουλεύει γάρ. ἔγραψε δὲ ὁ Ἰσοκράτης τὸν λόγον, γέρων ὢν, μικρὸν πρὸ τῆς ἑαυτοῦ καὶ Φιλίππου τελευτῆς, ὡς φησὶν ὁ Ἕρμιππος.

* ὑπὸ

* ἐπίκλησιν

## [redacted] ΤΟΥ͂ [redacted]

[redacted] εἰς τὸν αὐτὸν λόγον ὑπόθεσις.

Δύο μάλιστα μέρη τούτου τοῦ λόγου εἰσὶ, τὸ μὲν περὶ τοῦ χρῆναι διαλλάττειν πρὸς ἀλλήλας τὰς ἑλληνικὰς πόλεις, τὸ δὲ περὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας. τὸ γὰρ Φίλιππον ἐπαινεῖσθαι, ὅπερ αὖ τις τὸ τρίτον ἀριθμήσειε μέρος, οὐ προηγούμενόν ἐστι, καθώς φασιν οἱ παρ᾽ Ἕλλησι ῥήτορες· ἀλλά τι παρεμπίπτον, εἰς ἔνδειξιν δυνάμεως, καὶ προτροπὴν τῆς

τοῦ



τοῦ Φιλίππου βουλήσεως. εἰσὶ δὲ τάδε τοῦ λόγου κεφάλαια, τὸ καλὸν ἢ δίκαιον, τὸ συμφέρον καὶ ἀναγκαῖον, τὸ ἡδὺ καὶ ἔνδοξον, καὶ ἐπὶ πᾶσι τούτοις τὸ δυνατὸν καὶ ῥᾴδιον. οὐδεὶς γὰρ περὶ τῶν μὴ ἄλλως, ἢ ὡς χαλεπώτατα καὶ ἐπικινδυνότατα γίνεσθαι δυναμένων, βουλεύεται. τὸ προοίμιον προκατάληψιν ἔχει· καὶ διὰ τὸ ἐντέχνως μὲν, λαθραίως δὲ τὸν Φίλιππον ἐγκωμιάσαι, εὔνοιαν καὶ προσοχὴν λαμβάνει. ἐπειδὴ γὰρ οἱ βασιλεῖς καὶ δυνάσται ἐν εὐπραγίαις, ἐπὶ τῇ ἰδίᾳ σοφίᾳ μέγα φρονοῦντες, οὐδὲ ταῖς τῶν οἰκείων βουλαῖς πείθονται· φοβεῖσθαι ἔδει τὸν Ἰσοκράτη, μὴ οὐχὶ ὁ λόγος αὐτοῦ καταφρονηθείη. διὰ τοῦτο πάνυ εὐφυῶς ἀναπλάττει, ἐπιπεπλῆχθαι ὑπὸ τῶν φίλων, ἐγκωμιασάντων τὰς Φιλίππου πράξεις, ἀναφερόντων εἰς αὐτοὺς πᾶν ὅ, τι Φίλιππος ἐννοήσειεν. ἐξῆν γὰρ τούτους ἐλέγξαι, μηδὲν τὸν Φίλιππον λυποῦντα. ἔστι δὲ αὕτη προοίμιον καὶ ἡ τοῦ ῥήτορος πρώτη, περὶ τοῦ λόγου τούτου πρὸς Φίλιππον γραφεῖσα, ἐπιστολή.

## ΛΟΓΟΣ ΙΣΟΚΡΑΤΟΥΣ πρὸς Φίλιππον. ς′.

Μὴ θαυμάσεις ὦ Φίλιππε, διότι τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν, οὐ τοῦ πρὸς σὲ ῥηθησομένου, καὶ νῦν δειχθήσεσθαι μέλλοντος, ἀλλὰ τοῦ περὶ Ἀμφιπόλεως γραφέντος· περὶ οὗ μικρὰ βούλομαι προειπεῖν, ἵνα δηλώσω καὶ σοὶ καὶ τοῖς ἄλλοις, ὡς οὐ δι᾽ ἄνοιαν, οὐδὲ διαψευσθεὶς ὑπὸ τῆς ἀρρωστίας τῆς νῦν μοι παρούσης, ὑπεθέμην γράφειν τὸν πρὸς σὲ λόγον,

προκατάληψις προσεκτική, ἐν ᾗ τὴν ἑαυτοῦ σπουδήν τε καὶ φιλαλήθειαν ἀπομνημονεύει.



C. k2v e k3r, cop. CCLA, 20160224